πορευομένου οὖν τοῦ αἰσώπου τί τοῦτο ἔφησαν, ἵνα τί ⁚ … κλέ-
ψας ἐκ τοῦ ἱεροῦ ἃ ἡμεῖς διαβεβαιούμεθα. τοῦ δὲ ἀρνουμέ-
νου καὶ διϊσχυριζομένου μηδὲν εἰδέναι, ἔτι δὲ ἀπολέσθαι
λέγοντος ἐὰν καταγνωσθῇ ἐκτινάξαντες αὐτοῦ τὰ
σκεύη εὗρον τὴν χρυσῆν φιάλην τοῦ ἀπόλλωνος, καὶ
λαβόντες οἱ δελφοὶ ἐπεδείκνυον πᾶσι τοῖς ἐν τῇ πό-
λει μετὰ πολλοῦ θορύβου καὶ ταραχῆς περικομίζοντες αὐ-
τήν. ὁ δὲ αἴσωπος αἰσθόμενος τὴν ἐπιβουλὴν πολλὰ
ἐδέετο ἀπολυθῆναι. οἱ δὲ αὐτὸν συλλαβόμενοι ἐνέκλει-
σαν εἰς φυλακήν. ὁ δὲ αἴσωπος οὐχ εὑρὼν μηχανὴν
τῆς πονηρᾶς τύχης, ὡς θνητὸς ὢν δυνήσεται τὸ
μέλλον ἐκφυγεῖν, ἐπένθει. φίλος δέ αὐτοῦ τις, δη-
μέας ὀνόματι, παρακαλέσας τοὺς φυλακάς, εἰσῆλ-
θε πρὸς αὐτόν. καὶ ἰδὼν αὐτὸν κλαίοντα, ἔλεγε,

⁚ in cod. litterae fere deletae, quasi hanc formam habebant ετ et cum v. κλε-ψας erant fere conjunctae.

http://digital.slub-dresden.de/ppn346259193/110